τῶν ἐν τῷ ἀέρι κινουμένων ξυσμάτων, κἂν μηδεμία σφοδρότης ἀέρος ᾖ, ἀλλὰ νηνεμία ἡ μεγίστη, ὡς φαίνεται διὰ τῶν θυρίδων ἐν ταῖς τοῦ ἡλίου ἀκτίσιν· ὅθεν, ἐπειδὴ ἐκεῖνα εἰσὶ πολλῷ ἐλάττω διὰ τὸ εἶναι ἀδιαίρετα, τὰ δὲ ἐν ταῖς ἀκτῖσι φαινόμενα εἰσὶν ἀποξύσματα καὶ διαιρετά, ἐναργῶς φαίνεται, ὅτι εἰσὶ μάλιστα κινητά· καὶ διότι ἐν τοῖς ἄλλοις σχήμασι τὸ σφαιρικόν ἐστι μάλιστα ἐπιτήδειον πρὸς τὴν κίνησιν διὰ τὸ μὴ ἔχειν γωνίας, μὴ ἐμποδίζεσθαι τῆς κινήσεως· καὶ διότι ἐπίστευον τὴν ψυχὴν μάλιστα κινεῖσθαι ἐκ τοῦ νομίζειν αὐτὴν ποιεῖν τὴν κίνησιν τοῖς ζῴοις, διὰ τοῦτο ἐν τοῖς ἀπείροις τούτοις σώμασι τὰ ἐν τούτοις ὄντα σφαιρικὰ σώματα ἔλεγον εἶναι τὴν ψυχήν.

Ταύτης ἔτι τῆς δόξης καὶ Λεύκιππος ἦν, ἑταῖρος ἐκείνου γεγονώς· καὶ πρὸς τοῦτο εἶχον ἓν σημεῖον, ὅτι ἠβούλετο ὁ Δημόκριτος τὸν ὅρον τῆς ζωῆς, τουτέστι τὸν λόγον, ἐν τῇ ἀναπνοῇ, εἰ καὶ μὴ ἱκανῶς τοῦτο ᾤετο, διότι οὐ πάντα τὰ ζῷα εἰσπνέουσιν· ἥτις δὴ εἰσπνοὴ ἀναγκαία ἦν κατ' αὐτόν, διότι τὰ σφαιροειδῆ σώματα πληροῦσι τὸ σῶμα διὰ τὸ αἴτια εἶναι κινήσεως ἐν τῷ τοῦ ζῴου σώματι κατ' αὐτόν, καὶ εἰσὶν ἐν κινήσει συνεχεῖ, καὶ τοῦ περιέχοντος τὰ ἡμέτερα σώματα, δηλονότι τοῦ ἀέρος συνάγοντος καὶ ἐκθλίβοντος, τουτέστιν ἐκβάλλοντος τῶν σχημάτων τὰ παρέχοντα τοῖς ζῴοις κίνησιν διὰ τὸ μηδενὶ τρόπῳ ἠρεμεῖν, ἵνα μὴ ἐκείνων ὅλως ἐξωσθέντων ἐκ τῶν ἡμετέρων σωμάτων ἐκλείπωσι τὰ σώματα, διὰ τοῦτο ἀναγκαία ἐστὶν ἡ εἰσπνοή, δι' ἧς εἰσέρχοιντο ἂν ἄλλα σώματα καὶ τὰ ἔνδον δὲ ἔτι ὄντα παρὰ τῶν εἰσιόντων δι' εἰσπνοῆς ἐμποδίζοιντο ἐξιέναι. Καὶ ἐπὶ τοσοῦτον εἶπε ζῆν τὰ ζῷα, ἐφόσον δύνανται τοῦτο ποιεῖν ἤγουν ἀναπνεῖν, καὶ ἡ δύναμις τούτου τοῦ σημείου ἐστὶν ὅτι, ἐπεὶ ἡ ἀναπνοὴ ἐκ τούτου λέγεται εἶναι λόγος τῆς ζωῆς, ὅτι συνέχει τὰ σώ-
f. 273 ματα αὐτὰ τὰ σφαιροειδῆ | ἐν τοῖς τῶν ζῴων σώμασι καὶ ἐμβάλλει ἔτι ἐκεῖνα ἔνδον, ἵνα μὴ διὰ τὰ ἐξιόντα σώματα κινούμενα συνεχῶς ἐκλίπῃ τὸ σῶμα τοῦ ζῴου, φανερὸν ὅτι αὐτὰ τὰ σώματά εἰσιν ἡ ψυχή· ἃ δὴ σώματα ἠθέλησεν ὁ Δημόκριτος εἶναι ἐκ τῆς φύσεως τοῦ πυρὸς καὶ ἐξ ἐκείνων γεννᾶσθαι τὴν θέρμην.

Ἔοικε δὲ καὶ τὸ παρὰ τῶν Πυθαγορείων. Ἐνταῦθα δεύτερον τίθησι δόξαν τινῶν Πυθαγορικῶν ὁμοίαν τῇ δόξῃ τοῦ Δημοκρίτου. Ὃ γὰρ οἱ Πυθαγόρειοι λέγουσι περὶ ψυχῆς τὴν αὐτὴν ἔχει διάνοιαν τῷ ὑπὸ Δημοκρίτου λεγομένῳ, εἰ καὶ μὴ πάντες οἱ Πυθαγόρειοι ταύτῃ τῇ δόξῃ συντίθενται. Τινὲς γὰρ αὐτῶν τῷ Δημοκρίτῳ συμφωνοῦντες εἶπον ψυχὴν εἶναι τὰ ἐν τῷ ἀέρι ξύσματα, τουτέστι τὰ ἄτομα καὶ ἄπειρα σώματα, ὡς Δημόκριτος ἔλεγεν. Ἄλλοι δὲ ἐξ αὐτῶν οὐκ εἶπον αὐτὰ τὰ ἄτομα σώματα

---

8 *ποιεῖν* om B *ἐνοιεῖν* après *κίνησιν* add B 18 *σχημάτων* corrigé de *σωμάτων* B

Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ κινητὰ εἶναι τὴν ψυχήν, ἀλλὰ τὴν ἐκεῖνα κινοῦσαν δύναμιν· καὶ ταύτης τῆς δόξης Ἀρχέλαός τις ἦν, διδάσκαλος τοῦ Σωκράτους. Ἀλλ' ὁ τούτων λόγος, δηλονότι διατί ἔλεγον τὰ τοιαῦτα σώματα εἶναι ψυχήν, ἤδη εἴρηται, διότι, ὡς φαίνεται, ἠβούλοντο τὸ μάλιστα κινοῦν εἶναι τὴν ψυχήν· ὅθεν, ἐπεὶ τὰ τοιαῦτα σώματα δοκεῖ κινεῖσθαι συνεχῶς, ὡς φαίνεται, ἐν τῷ ἀέρι, ἐν ᾧ κινοῦνται, κἂν ᾖ νηνεμία παντελής, ἔλεγον αὐτὰ εἶναι τὴν ψυχήν.

*Ἐπὶ τὸ αὐτὸ δὲ φέρονται καὶ ὅσοι.* Ἐνταῦθα ἀνακεφαλαιοῦται πολλῶν φιλοσόφων δόξαν περὶ ψυχῆς καὶ ἀνάγει πρὸς ταύτας τὰς δόξας λέγων, ὅτι πάντες οἱ ὁριζόμενοι τὴν ψυχὴν ἀπὸ τῆς κινήσεως εἶπον αὐτὴν εἶναι τὸ ἑαυτὸ κινοῦν. Φέρονται γὰρ εἰς τὸ αὐτό, τουτέστιν εἰς τὴν αὐτὴν διάνοιαν τοῖς προειρημένοις· πάντες γὰρ συμφωνοῦσιν ἐν τούτῳ καὶ κοινῶς φαίνονται ὑπειληφέναι τὴν κίνησιν μάλιστα καὶ ἐξόχως εἶναι ἴδιον τῆς ψυχῆς καὶ πᾶν τὸ κινούμενον κινεῖσθαι παρὰ ψυχῆς, αὐτὴν δὲ τὴν ψυχὴν κινεῖσθαι παρ' ἑαυτῆς. Καὶ ὁ λόγος αὐτῶν, ὡς καὶ προείρηται, ἦν ὅτι κοινῶς ἐδόξασαν μηδὲν δύνασθαι κινεῖν ἄλλο μὴ κινούμενον καὶ αὐτό· ὅθεν, ἐπεὶ ἡ ψυχὴ τὰ ἄλλα κινεῖ, ἐπίστευον τὴν ψυχὴν μάλιστα καὶ ἐξόχως κινεῖσθαι.

*Ὁμοίως δὲ καὶ Ἀναξαγόρας.* Ἐνταῦθα τίθησι τὴν δόξαν Ἀναξαγόρου περὶ τῆς φύσεως τῆς ψυχῆς, καὶ πρῶτον τίθησιν ἐν ᾧ Ἀναξαγόρας συνεφώνει τοῖς ἀνωτέρω εἰρημένοις, λέγων ὅτι Ἀναξαγόρας καὶ εἴ τις ἄλλος εἴρηκεν, ὅτι ὁ νοῦς κινεῖ πάντα, λέγει τὴν ψυχὴν εἶναι τὴν κινοῦσαν πάντα, ὡς καὶ ἐκεῖνοι λέγουσιν· ἀλλ' ἐν τούτῳ διαφέρει, ὅτι οὐκ ἠθέλησε πᾶν τὸ κινοῦν ἄλλο κινεῖσθαι καὶ αὐτὸ μᾶλλον μὲν οὖν ἕνα εἶπε τὸν χωριστὸν νοῦν καὶ μὴ μεμιγμένον, ὅστις τὰ ἄλλα κινεῖ μὴ κινούμενος, καὶ ἐκ τῆς αὐτοῦ φύσεως τὴν ψυχὴν εἶπεν εἶναι· ὅθεν ἐκ τούτου καὶ αἱρεσίς τις ἀνεφύη, τινῶν λεγόντων τὴν ψυχὴν εἶναι ἐκ τῆς φύσεως τοῦ Θεοῦ. Οὕτω τοίνυν φαίνεται πῶς συνεφώνει μετὰ τῶν ἀνωτέρω ἐν τούτῳ, δηλονότι ἐν τῷ εἰπεῖν ψυχὴν εἶναι τὸ κινοῦν, ἀλλὰ διέφερεν ἐκείνων, καθότι εἶπε τὴν ψυχὴν μὴ κινεῖσθαι, οὗ τὸ ἐναντίον ἔλεγον ἐκεῖνοι. Διεφέρετο δὲ ἔτι καὶ πρὸς Δημόκριτον ἐν τῇ τοῦ νοῦ παραλήψει· καὶ διὰ τοῦτο ἐν τῷ λέγειν· *Ἐκεῖνος μὲν γάρ*, ταύτην τίθησι τὴν διαφοράν, καὶ πρῶτον τὴν δόξαν τοῦ Δημοκρίτου, λέγων ὅτι ὁ Δημόκριτος εἶπεν ἁπλῶς, τουτέστι πανταχοῦ καὶ καθόλου, τὸν νοῦν καὶ τὴν ψυχὴν ταὐτὸν εἶναι· οὗ δὴ αἰτία ἐστίν, ὅτι ὁ Δημόκριτος ἐπίστευε μηδὲν εἶναι ἐν τῷ κόσμῳ εἰ μὴ τὰ αἰσθητά· καὶ ὥσπερ οὐδὲν ἦν ἐν τῷ κόσμῳ εἰ μὴ τὰ αἰσθητά, οὕτως ἔλεγε μηδεμίαν δύναμιν μεταληπτικὴν ἐν τῇ ψυχῇ εἶναι εἰ μὴ τὴν αἰσθητικήν. Ὅθεν ταύτης γέγονε τῆς δόξης, τῆς ὅτι οὐδεμία ἀλήθεια διωρισμένως καταλαμβάνεται περὶ τῶν πραγμάτων, καὶ ὅτι οὐδὲν

---

17 καὶ ἐξόχως om B

Ε.Υ.Δ της Γ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

διωρισμένως γινώσκεται, ἀλλὰ τὸ φαινόμενον τοῦτο ἐστὶ τὸ ἀληθὲς καὶ οὐδὲν μᾶλλον τὸ δοκοῦν ἑνί τῳ περί τινος πράγματος ἢ τὸ δοκοῦν ἄλλῳ περὶ τοῦ αὐτοῦ πράγματος κἂν τῷ αὐτῷ χρόνῳ ἀληθές ἐστιν· καὶ ἐντεῦθεν ἠκολούθει τιθέναι αὐτὸν τὰ ἐναντία ἅμα εἶναι ἀληθῆ· οὗ δὴ αἰτία ἐστίν, ὅτι οὗτος, ὡς εἴρηται, οὐκ ἐχρῆτο τῷ νῷ, ὅς ἐστι περὶ τὴν ἀλήθειαν, τουτέστι τῇ νοητικῇ δυνάμει, δι' ἧς ἡ ψυχὴ νοεῖ τὰ νοητά, ἀλλὰ μόνον τῇ αἰσθητικῇ δυνάμει, καὶ ὅτι οὐδὲν γινώσκεται εἰ μὴ τὸ αἰσθητόν, ἐπεὶ οὐδὲν ἐτίθει ἐν τῇ τῶν πραγμάτων φύσει εἰ μὴ τὸ αἰσθητόν· ὅθεν, ἐπεὶ τὰ αἰσθητὰ ἐν συνεχεῖ κινήσει εἰσὶ καὶ ἐπιρροῇ, ἐδόξασε μηδεμίαν ἀλήθειαν εἶναι διωρισμένην ἐν τοῖς πράγμασι· καὶ διότι οὐκ ἀφίκετο πρὸς τὸ f. 273v γνῶναι τὸν νοῦν δύναμιν εἶναι τινὰ περὶ ἀλήθειαν, τουτέστιν | ἧς τὸ ἀντικείμενον ἐστὶ τὸ ἀληθές, μηδὲ ἐξαπλῶσαι τὰς τῆς ψυχῆς δυνάμεις ἀλλὰ λαβεῖν μόνον τὰς αἰσθητικὰς τῆς ψυχῆς δυνάμεις, διὰ τοῦτο κοινῶς καὶ ἀδιαφόρως ταὐτὸν εἶπε ψυχήν τε καὶ νοῦν· ὃν δὴ νοῦν λέγει μεταβάλλεσθαι κατὰ τὴν τοῦ ἀνθρώπου ἀλλοίωσιν· καὶ διὰ τοῦτο τὸν Ὅμηρον παρατίθεται εἰπόντα ὡς Ἕκτωρ κεῖται ἄλλο φρονέων, τουτέστι κατὰ τὴν αὐτοῦ μεταβολὴν μεταβέβληται ὁ νοῦς αὐτοῦ, ἐπεὶ ἄλλο μὲν φρονοίη νικηθείς, ἄλλο δὲ ἀνίκητος.

Ἀναξαγόρας δὲ ἧττον διασαφεῖ. Ἐνταῦθα δείκνυσιν ἐν ᾧ διέφερεν Ἀναξαγόρας τοῦ Δημοκρίτου, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, τίθησι τὴν δόξαν Ἀναξαγόρου· δεύτερον, ἀποδοκιμάζει αὐτὴν ἐν τῷ· Οὐ δοκεῖ δέ, καὶ τὰ λοιπά. Λέγει τοίνυν, ὅτι ὁ Ἀναξαγόρας περὶ τῆς ψυχῆς μᾶλλον ἀμφιβόλως καὶ ἧττον διασαφεῖ περὶ αὐτῆς. Αὐτὸς γὰρ πολλάκις λέγει τὸν νοῦν εἶναι αἴτιον τοῦ καλῶς ἐνεργεῖν, τουτέστι τοῦ καλῶς δοξάζειν καὶ ὀρθῶς· ἐν ἄλλοις δὲ χωρίοις τοῦτον τὸν νοῦν, τὸν αἴτιον δηλονότι τῆς ὀρθῆς δόξης, καὶ τὴν ψυχὴν ταὐτὸν εἶναι λέγει· καὶ τοῦτο δῆλον ἐκ τοῦ τὴν μὲν ψυχὴν ἐνυπάρχειν πᾶσι τοῖς ζῴοις, τιμίοις τε ὁμοίως καὶ ἀτιμοτέροις, καὶ μεγάλοις καὶ μικροῖς, αὐτὸν δὲ λέγειν τούτοις ἅπασιν ἐνυπάρχειν νοῦν. Φανερὸν τοίνυν, ὅτι ταὐτὸν λέγει ψυχήν τε καὶ νοῦν εἶναι.

Οὐ φαίνεται δ' ὅ γε κατὰ φρόνησιν. Ἐνταῦθα δεύτερον δείκνυσιν ἐναντιότητα εἶναι ἐν τῇ παραλήψει τοῦ νοῦ κατὰ Ἀναξαγόραν, δηλονότι ἐν τῷ λέγειν αὐτὸν τὸν νοῦν ποτὲ μὲν μὴ εἶναι τὸ αὐτὸ τῇ ψυχῇ, ποτὲ δὲ λέγειν τὸν νοῦν καὶ τὴν ψυχὴν ταὐτὸν εἶναι· ἐναντίαι γάρ εἰσι δόξαι καὶ οὐ δύνανται ἅμα ἑστάναι· καὶ τοῦτο δείκνυσι λόγῳ τοιῷδε. Φανερόν ἐστιν, ὅτι τὸ ὀρθῶς ἐνεργεῖν ἐστὶν ἴδιον τοῦ νοῦ τοῦ κατὰ τὴν φρόνησιν τελείου, διότι τὸ καλῶς ἐνεργεῖν ἀνήκει εἰς τὴν φρόνησιν· εἰ δέ ἐστι ταὐτὸν ὁ νοῦς ὁ αἴτιος τοῦ ὀρθῶς ἐνεργεῖν καὶ ἡ ψυχή, ἀκολουθήσει

---

11 τὴν avant *ἀλήθειαν* add B 23 *διασαφοῖ* B 30 τε om B

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ τὸν φρόνιμον νοῦν καὶ τὴν ψυχὴν ταὐτὸν εἶναι. Ἀλλὰ τοῦτο ψεῦδος ἐστί, διότι ἡ ψυχὴ ἔστιν ἐν πᾶσι τοῖς ζῴοις, ὁ δὲ νοῦς ὁ κατὰ τὴν φρόνησιν λεγόμενος οὐ δοκεῖ ἐνυπάρχειν οὐ μόνον ἅπασι τοῖς ζῴοις, ἀλλ' οὐδ' ἔτι πᾶσιν ἀνθρώποις· οὐκ ἄρα ταὐτόν ἐστι τῇ ψυχῇ.

Ὅσοι μὲν οὖν, φησίν, ἐθεώρησαν τὴν ψυχὴν κατὰ τὴν κίνησιν, τουτέστι κατὰ τὸ κινεῖσθαι παρ' ἑαυτῆς, ἐδόξασαν ψυχὴν εἶναι τὸ μάλιστα κινητικόν, ὡς φαίνεται ἐν ταῖς ἤδη εἰρημέναις δόξαις.

## Leçon IV.

Ὅσοι δὲ ἐπὶ τὸ γινώσκειν καὶ αἰσθάνεσθαι. Ἀνωτέρω ἔδειξεν ὁ Φιλόσοφος, ὅπως ἔνιοι ἀφίκοντο εἰς τὴν γνῶσιν τῆς ψυχῆς διὰ τῆς κινήσεως· ἐνταῦθα δὲ δείκνυσιν, ὅπως τινὲς ἦλθον εἰς τὴν γνῶσιν τῆς ψυχῆς διὰ τῆς αἰσθήσεως εἴτουν τῆς γνώσεως, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον γὰρ δείκνυσιν ἐν ᾧ συνεφώνουν οἱ φιλόσοφοι οἱ θεωροῦντες τὴν ψυχὴν ἐκ τῆς αἰσθήσεως· δεύτερον, ἐν ᾧ διεφέροντο ἐν τῷ· Ὥσπερ Ἐμπεδοκλῆς μέν. Λέγει τοίνυν πρῶτον, ὅτι πάντες ἐν τούτῳ συνεφώνουν, ὅτι ἔλεγον τὴν ψυχὴν εἶναι ἐκ τῶν ἀρχῶν· ἃς δὴ ἀρχὰς ἄλλοι μὲν ἐποίουν, τουτέστιν ἐτίθεσαν, πλείους· ἄλλοι δὲ μίαν μόνην· πρὸς δὲ τὸ τιθέναι τὴν ψυχὴν ἐκ τῶν ἀρχῶν συνεστάναι ἐκινοῦντο διότι αὐτοὶ οἱ ἀρχαῖοι φιλόσοφοι, ὥσπερ ὑπ' αὐτῆς τῆς ἀληθείας ἠναγκασμένοι, ἐφαντάζοντο τρόπον τινὰ τὴν ἀλήθειαν καὶ ὠνείρωττον· ἡ δὲ ἀλήθεια ἐστὶν ὅτι ἡ γνῶσις γίνεται δι' ὁμοιότητος τοῦ γνωστοῦ πράγματος ἐν τῷ γινώσκοντι· δεῖ γὰρ τὸ γνωστὸν τρόπῳ τινὶ εἶναι ἐν τῷ γινώσκοντι. Οἱ ἀρχαῖοι δὲ φιλόσοφοι ἐνόμισαν ὅτι δεῖ τὴν ὁμοιότητα τοῦ γνωστοῦ πράγματος εἶναι ἐν τῷ γινώσκοντι κατὰ τὸ φυσικὸν εἶναι καὶ κατὰ τὸ αὐτὸ εἶναι, ὅπερ ἔχει ἐν ἑαυτῷ· ἔλεγον γὰρ ὅτι δεῖ τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεσθαι· ὅθεν, ἂν ἡ ψυχὴ γινώσκῃ πάντα, δεῖ αὐτὴν ἔχειν ὁμοιότητα πάντων ἐν ἑαυτῇ κατὰ τὸ φυσικὸν εἶναι, ὡς αὐτοὶ ἐτίθεσαν· οὐ γὰρ ᾔδεσαν διακρίνειν τόν τε τρόπον καθ' ὃν τὸ πρᾶγμα ἐστὶν ἐν τῷ νῷ ἢ τῷ ὀφθαλμῷ, καὶ τὸν τρόπον καθ' ὃν ἔστιν ἐν ἑαυτῷ· ὅθεν, ἐπεὶ τὰ ἐκ τῆς ὑπάρξεως τοῦ πράγματος ὄντα εἰσὶν ἀρχαὶ ἐκείνου τοῦ πράγματος καὶ ὁ γινώσκων τὰς ἀρχὰς τοῦ πράγματος αὐτὸ οἶδε τὸ πρᾶγμα, ὑπέθεντο καὶ εἶπον ὅτι, ἐπεὶ ἡ ψυχὴ γινώσκει πάντα, εἴη ἂν ἐκ τῶν ἀρχῶν τῶν πραγμάτων· καὶ τοῦτο μὲν ἦν πᾶσι κοινόν. Ἀλλ' ἐμερίσθησαν καθὸ διεφέροντο περὶ τῶν ἀρχῶν, ἃς ἐτίθεσαν· οὐ γὰρ τὰς αὐτὰς πάντες ἐτίθεσαν ἀρχάς, ἀλλ' εἷς μὲν πλείους, ἄλλοι δὲ μίαν· καὶ ὃ μὲν ταύτην, ὃ δὲ ἐκείνας. Κατὰ τοῦτο διηνέχθησαν ἐν τῷ τιθέναι ἐξ ὧν ἀρχῶν συνέστηκεν ἡ ψυχή.

Ὥσπερ Ἐμπεδοκλῆς. Ἐνταῦθα ἑπομένως τίθησιν ἐν ᾧ διε- f. 274

---

1 τὸ om B 30 *ὑπάρξεως* corrigé de *φύσεως* A

Ε.Υ.Δ της Κ. τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

φέροντο καὶ πρῶτον τίθησι τὴν Ἐμπεδοκλέους δόξαν· δεύτερον, τὴν Πλάτωνος ἐν τῷ· τὸν αὐτὸν δὲ τρόπον. Πρῶτον τοίνυν τίθησι τὴν Ἐμπεδόκλειον δόξαν, λέγων ὅτι οἱ ἀρχαῖοι φιλόσοφοι, οἱ διὰ τῆς αἰσθήσεως θεωροῦντες τὴν ψυχήν, λέγουσιν αὐτὴν συνεστάναι ἐκ τῶν στοιχείων· καὶ οἱ μὲν μίαν ποιοῦντες ἀρχήν, ταύτην τὴν μίαν λέγουσιν εἶναι τὴν ψυχήν· οἱ δὲ πλείους, ἐκ τοσούτων αὐτὴν συντεθεῖσθαι, ὥσπερ Ἐμπεδοκλῆς λέγει τὴν ψυχὴν ἐκ τῶν στοιχείων εἶναι πάντων καὶ ἕκαστον αὐτῶν λέγει ψυχήν· περὶ ὃ δὴ ἰστέον ἐστίν, ὅτι Ἐμπεδοκλῆς ἓξ ἔθετο ἀρχάς, τέσσαρας ὑλικάς, δηλονότι γῆν, ὕδωρ, ἀέρα καὶ πῦρ, καὶ δύο ἐνεργητικὰ καὶ παθητικά, δηλονότι νεῖκος καὶ φιλίαν· καὶ διὰ τοῦτο, ἐπεὶ ἐτίθεντο πάντες τὴν ψυχὴν ἐκ τῶν ἀρχῶν συντεθεῖσθαι, εἶπε τὴν ψυχὴν ἐκ τῶν τοιούτων ἀρχῶν, ἃς ἐτίθει καὶ τὴν αἴσθησιν· τὴν γῆν γάρ, κατ' αὐτόν, γῇ γινώσκομεν, καὶ τῷ αἰθέρι, τουτέστι τῷ ἀέρι, τὸν ἀέρα, καὶ τῷ ὕδατι τὸ ὕδωρ, καὶ τὸ πῦρ τῷ πυρί, καὶ διὰ τῆς ὁμονοίας γινώσκομεν τὴν ὁμόνοιαν, καὶ ἐκ τῆς λυγρᾶς φιλονεικίας γινώσκομεν τὴν φιλονεικίαν, τὸ λυγρᾶς προστιθεὶς δι' ἀναπλήρωσιν τοῦ μέτρου ἴσως.

Τὸν αὐτὸν δὲ τρόπον. Ἐνταῦθα δεύτερον τίθησι τὴν δόξαν τοῦ Πλάτωνος, λέγων ὅτι ὁ Πλάτων ἔτι ποιεῖ τὴν ψυχὴν ἐκ τῶν στοιχείων, τουτέστι λέγει τὴν ψυχὴν ἐκ τῶν ἀρχῶν συνεστάναι· καὶ ὅτι τοῦτο ἐστὶν ἀληθές, δηλονότι ὅτι ὁ Πλάτων φησὶ τὴν ψυχὴν συνεστάναι ἐκ τῶν ἀρχῶν τῶν πραγμάτων, δείκνυσι διὰ τριπλῆς τοῦ Πλάτωνος ῥήσεως. Πρῶτον μὲν γάρ φησιν ἐν Τιμαίῳ δύο εἶναι στοιχεῖα εἴτουν ἀρχὰς τῶν πραγμάτων, δηλονότι τὸ ταὐτὸν καὶ τὸ διάφορον. Ἔστι γάρ τις φύσις ἡ ἀεὶ κατὰ τὸν αὐτὸν ἔχουσα τρόπον καὶ ἁπλῆ οὖσα, ὥσπερ εἰσὶ τὰ ἄϋλα· καὶ ταύτην καλεῖ τὸ ταὐτόν· ἔστι δέ τις αὖ φύσις, ἥτις οὐκ ἀεὶ κατὰ τὸν αὐτὸν ἔχει τρόπον, ἀλλ' ἐπιδέχεται μεταβολὴν καὶ διαίρεσιν, ὥσπερ εἰσὶ τὰ ὑλικά· καὶ τοῦτο καλεῖ διάφορον· καὶ ἐκ τούτων τῶν δύο, δηλονότι τοῦ ταὐτοῦ καὶ ἑτέρου, τὴν ψυχὴν συντεθεῖσθαι λέγει, οὐχ ὅτι ταῦτα τὰ δύο εἰσὶν ἐν τῇ ψυχῇ ὡς μέρη, ἀλλ' ὅτι ἐστὶν ὡσανεὶ μέση, τουτέστιν ἡ λογικὴ ψυχὴ τῶν μὲν ὑψηλοτέρων καὶ πάντη ἀΰλων ἐστὶ χθαμαλωτέρα καὶ χείρων, τῶν δὲ ὑλικῶν καὶ χθαμαλωτέρων ἐστὶν εὐγενεστέρα τε καὶ ὑψηλοτέρα· καὶ τούτου αἰτία ἦν ὅτι, ὡς εἴρηται, τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεται· ὅθεν εἰ ἡ ψυχὴ μέλλοι γινώσκειν ἅπαντα, τὸ δὲ ταὐτὸν καὶ διάφορον εἰσὶν ἀρχαί, τὴν ψυχὴν ἐκ τούτων τῶν δύο ἀρχῶν ἔλεγε συντεθεῖσθαι τρόπῳ τῷ εἰρημένῳ, ὥστε καθόσον μὲν ἔχει τὴν τῆς ταὐτότητος φύσιν, δύνασθαι γινώσκειν αὐτὴν ἅπερ ἐτίθει ταὐτά· καθόσον δέ ἐστιν ἐκ τῆς φύσεως τῶν ἅπερ ἐτίθει ἕτερα, γινώσκειν τὰ ἕτερα, τουτέστι τὰ ὑλικά· ὅθεν καὶ ταύτῃ τῇ γνώσει χρῆται. Ὅταν γὰρ συναγάγῃ τὰ γένη καὶ τὰ

29 τῇ om B

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἴδη, τότε λέγει αὐτὴν παριστάνειν τὸ ταὐτὸν εἴτουν τὴν ταὐτότητα· ὅταν δὲ τὰς διαφορὰς καὶ τὰ συμβεβηκότα λαμβάνῃ, τὴν ἑτερότητα ἐξευρίσκειν. Οὕτω τοίνυν δῆλον ἐστίν, ὅπως ὁ Πλάτων ἐν τῷ Τιμαίῳ λέγει τὴν ψυχὴν συγκεῖσθαι ἐκ τῶν ἀρχῶν.

Ὁμοίως δὲ καὶ ἐν τοῖς. Ἐνταῦθα τίθησι τὴν δευτέραν ῥῆσιν τοῦ Πλάτωνος, δι' ἧς δείκνυται, ὅτι τὴν ψυχὴν εἶπεν ἐκ τῶν ἀρχῶν εἶναι· περὶ δ δὴ ἰστέον ἐστίν, ὅτι ὁ Πλάτων ὑπέθετο ὅτι τὰ νοητὰ εἰσὶ καθαυτὰ ὑφεστῶτα, χωριστὰ καὶ ἀεὶ ἐνεργείᾳ εἰσίν, καὶ εἰσὶν αἴτια τῆς γνώσεως καὶ τοῦ εἶναι τοῖς αἰσθητοῖς πράγμασιν· ὅπερ Ἀριστοτέλης ὡς ἄτοπον ἀποδιοπομπούμενος, ἠναγκάσθη τιθέναι τὸν ποιοῦντα νοῦν· ὅθεν ἠκολούθει ἐκ τῆς θέσεως τοῦ Πλάτωνος, ὅτι καθὸ εἰσί τινα ἐξ ἀφαιρέσεως, οὕτως εἰσί τινα καθαυτὰ ὑφεστῶτα καὶ ἐντελεχείᾳ ὄντα. Διπλοῦν δὲ ἔχομεν τρόπον ἀφαιρέσεως διὰ τοῦ νοῦ· ἕνα μέν, ὅς ἐστιν ἐκ τῶν μερικῶν πρὸς τὰ καθόλου, ἄλλον δὲ δι' οὗ ἀφαιροῦμεν τὰ μαθηματικὰ ἀπὸ τῶν αἰσθητῶν· καὶ οὕτως ἠναγκάζετο ἐκ τούτου τιθέναι τρία ὑφεστῶτα, δηλαδὴ τὰ αἰσθητά, τὰ μαθηματικὰ καὶ τὰ καθόλου· ἠθέλησε γὰρ ἵνα τῇ ἀφαιρέσει τοῦ νοῦ ἀποκρίνηται ἡ ἀφαίρεσις ἐν τῷ πράγματι τῶν αἰτίων καὶ ὧν τῇ μετοχῇ τὰ αἰσθητὰ πράγματα καὶ μαθηματικὰ ἂν εἶεν.

Ἔτι ὁ Πλάτων ἐτίθει τοὺς ἀριθμοὺς εἶναι αἰτίαν τῶν πραγμάτων, καὶ τοῦτο ἐποίει διότι οὐκ ᾔδει διακρίνειν τότε ἓν ὅπερ ἀντιστρέφει τῷ ὄντι, καὶ τὸ ἓν ὅπερ ἐστὶν ἀρχὴ ἀριθμοῦ, ὥσπερ ἐστὶν εἶδος τῆς ποσότητος ἐξ οὗ ἠκολούθει ὅτι, ἐπεὶ τὸ καθόλου χωριστὸν ἐτίθει αἰτίαν τῶν πραγμάτων, καὶ τοὺς ἀριθμοὺς εἶναι οὐσίαν τῶν πραγμάτων ἔλεγεν, ὅτι τὰ τοιαῦτα | καθόλου εἰσὶν ἐκ τῶν ἀριθμῶν· ἔλεγε γὰρ ὅτι ἀρχὴ πάντων f. 274v
τῶν ὄντων εἰσὶ τὰ εἴδη καὶ ὁ εἰδητικὸς ἀριθμός, ὃν ἐκάλει εἰδητικὸν ὡς σύνθετον ἐκ τῶν εἰδῶν. Αὐτὸν γὰρ τὸν ἀριθμὸν ἀνῆγεν ὥσπερ εἰς ἀρχὰς καὶ στοιχεῖα εἰς τὸ ἓν καὶ τὴν δυάδα· ἐκ τοῦ ἑνὸς γὰρ οὐδὲν ἂν προέλθοι, καὶ διὰ τοῦτο ἀναγκαία γέγονεν αὐτῷ τῷ ἑνὶ ἄλλη ὑποκειμένη φύσις ἀφ' ἧς ἂν τὸ πλῆθος προάγοιτο, καὶ ταύτην ἐκάλεσε δυάδα· καὶ κατὰ τὴν τάξιν τῆς ὑλικότητος ἔταττεν ἐκεῖνα τὰ τρία, διότι τὰ αἰσθητὰ εἰσὶ μᾶλλον ὑλικὰ ἢ τὰ μαθηματικά, καὶ τὰ καθόλου ἀϋλότερα τῶν μαθηματικῶν. Διὰ τοῦτο πρῶτον ἔθετο τὰ αἰσθητά, ἐφ' ὧν ἔθετο τὰ μαθηματικά, καὶ ὑπὲρ αὐτά, τὰ καθόλου χωριστὰ καὶ τὰς ἰδέας, αἳ διαφέρουσι τῶν μαθηματικῶν, ὅτι ἐν τοῖς μαθηματικοῖς ἐν ἑνὶ εἴδει εἰσὶ τινὰ διαφέροντα κατ' ἀριθμόν, ἀλλ' ἐν ταῖς ἰδέαις καὶ ταῖς χωρισταῖς οὐσίαις οὐχ εὑρίσκονται τινὰ ἑνὸς εἴδους διαφέροντα ἀριθμῷ· ἑνὸς γὰρ εἴδους μίαν ἔθετο ἰδέαν, ἃς ἰδέας λέγει εἶναι ἐκ τῶν ἀριθμῶν καὶ κατ' ἀριθμοὺς ἐν αὐταῖς εἶναι τοὺς λόγους τῶν αἰσθητῶν πραγμάτων τῶν συνισταμένων ἐκ

---

20 *διότι: ὅτι* B 25 *ἐκάλει εἰδητικὸν: καὶ διειδητικὸν* B 37 *εἶναι* om B

ΙΩΑΝΝΙΝΑ 2006

μήκους, πλάτους καὶ βάθους· καὶ διὰ τοῦτο εἶπεν ἰδέαν τοῦ μήκους εἶναι τὴν πρώτην δυάδα· τὸ γὰρ μῆκος ἐστὶν ἀφ' ἑνὸς πρὸς ἕν, δηλονότι ἀπὸ σημείου εἰς σημεῖον· τοῦ δὲ πλάτους τὴν πρώτην τριάδα· τὸ γὰρ τριγωνικὸν σχῆμα πρῶτον ἐστὶ τῶν τοῦ ἐπιπέδου σχημάτων εἴτουν τῶν τῆς ἐπιφανείας· τοῦ δὲ βάθους, ὃ περιλαμβάνει τὸ μῆκος καὶ τὸ πλάτος, ἰδέαν εἶπεν εἶναι τὴν πρώτην τετράδα. Πρῶτον γὰρ σχῆμα τῶν σωμάτων ἐστὶν ἡ πυραμὶς ἐν τέτρασι γωνίαις συνεστηκυῖα· ὅθεν, ἐπεὶ ὁ Πλάτων ἐτίθει ψυχὴν αἰσθητήν, ἔθετο καὶ ψυχὴν χωριστήν, ἥτις αἰτία ταύτης ἂν εἴη, καὶ ταύτην ὥσπερ τὰ ἄλλα τὰ χωριστὰ καὶ τὰς ἰδέας, εἶπεν εἶναι ἐκ τῶν ἀριθμῶν, τουτέστι τῆς μονάδος καὶ δυάδος, ἅπερ ἐτίθει ἀρχὰς τῶν πραγμάτων.

Ἔτι δὲ καὶ ἄλλως. Ἐνταῦθα τίθησι τὴν τρίτην ῥῆσιν τοῦ Πλάτωνος, ἐξ ἧς καὶ αὐτῆς φαίνεται εἰπὼν τὴν ψυχὴν εἶναι συγκειμένην ἐκ τῶν ἀρχῶν. Ὁ γὰρ Πλάτων ἔθετο τὸν ἀριθμόν, ὡς εἴρηται, εἶδος καὶ ἀρχὰς τῶν πραγμάτων· ὅθεν, διαλεγόμενος περὶ ψυχῆς, ἔθετο αὐτὴν κατὰ τοῦτο ἔρχεσθαι εἰς γνῶσιν, ὅτι ἦν συντεθειμένη ἐκ τῶν ἀρχῶν, δηλονότι ἐκ τῶν ἀριθμῶν, καὶ πάσας τὰς ἐνεργείας αὐτῆς ἐκ τούτων προϊέναι. Εὑρίσκομεν γὰρ ἐν τῇ ψυχῇ διαφόρους δυνάμεις πρὸς κατάληψιν τῶν ὄντων, δηλονότι νοῦν, ἐπιστήμην, δόξαν καὶ αἴσθησιν. Φησὶ τοίνυν τὴν ψυχὴν ἔχειν νοῦν καὶ τούτου τὴν ἐνέργειαν ἐκ τῆς ἰδέας τοῦ ἑνός, διότι δηλονότι ἐστὶν ἐν αὐτῇ ἡ φύσις τῆς μονάδος· ὁ γὰρ νοῦς μιᾷ ἐπιβολῇ ἀντιλαμβάνεται τοῦ ἑνός· Ἔτι, τὴν ἐπιστήμην ἐκ τῆς πρώτης δυάδος· ἡ γὰρ ἐπιστήμη ἐστὶν ἀφ' ἑνὸς πρὸς ἓν ἤγουν ἐκ τῶν ἀρχῶν πρὸς τὸ συμπέρασμα· τὴν δὲ δόξαν ἐκ τῆς πρώτης τριάδος· ἡ γὰρ δόξα ἐστὶν ἀφ' ἑνὸς εἰς δύο· ἔστι γὰρ ἀπὸ τῶν ἀρχῶν πρὸς τὸ συμπέρασμα μετὰ τῆς ἄλλου συμπεράσματος δειλίας· καὶ οὕτως εἰσὶν ἐκεῖ τρία, δηλονότι ἡ ἀρχὴ καὶ τὰ δύο συμπεράσματα, ἕν, τὸ συμπεπερασμένον, καὶ ἄλλο περὶ οὗ τὸ δέον ἐστὶ καὶ ἡ ὑπόνοια· τὴν δὲ αἴσθησιν ἔχει ἡ ψυχὴ ἐκ τῆς πρώτης τετράδος· ἔστι γὰρ ἡ τετρὰς πρώτη ἰδέα τοῦ σώματος, διότι συνέστηκεν ἐκ τῶν τεσσάρων γωνιῶν, ὡς εἴρηται, ἡ δὲ αἴσθησις τῶν σωμάτων ἐστίν. Ἐπειδὴ τοίνυν πάντα τὰ πράγματα γινώσκεται τούτοις τοῖς τέτρασι, δηλονότι νῷ, ἐπιστήμῃ, δόξῃ καὶ αἰσθήσει, καὶ ταύτας τὰς δυνάμεις ἔχειν φησὶ τὴν ψυχὴν καθὸ μετέχει τῆς φύσεως τῆς ἑνάδος καὶ δυάδος καὶ τοῦ τριττοῦ καὶ τῆς τετρακτύος, φανερόν ἐστιν, ὅτι λέγει τὴν ψυχὴν χωριστήν, ἣν ἔθετο ἰδέαν ταύτης τῆς ψυχῆς συγκειμένην ἐκ τῶν ἀριθμῶν, οἵτινες εἰσὶν ἀρχαὶ καὶ στοιχεῖα τῶν πραγμάτων· καὶ οὕτω φαίνεται, ὅτι ὁ Πλάτων τὴν ψυχὴν εἶπε συγκειμένην ἐκ τῶν ἀρχῶν.

Ἐπεὶ δὲ καὶ κινητικὸν ἐδόκει. Ἐνταῦθα ἑπομένως τίθησιν,

---

17 *αὐτῶν* B   31 *ἐπεὶ* B   *γινώσκονται* B   33 *τῆς* avant *δυάδος* add B

ὅτι τινὲς φιλόσοφοι διηνέχθησαν καὶ ἦλθον πρὸς τὴν τῆς ψυχῆς γνῶσιν ἐκ τῆς κινήσεως καὶ τῆς αἰσθήσεως εἴτουν τῆς γνώσεως, λέγων ὅτι, διότι ἡ ψυχὴ ἐδόκει εἶναι κινητικὴ καθ' αὑτὴν καὶ γνωστικήν, συνέπλεξαν ταῦτα τὰ δύο καὶ ὡρίσαντο τὴν ψυχὴν ἐξ ἀμφοτέρων, δηλονότι κινήσεως καὶ γνώσεως, λέγοντες ὅτι ψυχή ἐστιν ἀριθμὸς κινῶν ἑαυτόν, διὰ τοῦ ἀριθμοῦ δηλοῦντες δύναμιν γνωστικήν, διότι, καθὼς προείρηται, ἐκ τούτου τὴν ψυχὴν ἔλεγον ἔχειν τὴν τῶν πραγμάτων γνῶσιν ἐκ τοῦ μετέχειν τῆς φύσεως τοῦ εἰδητικοῦ ἀριθμοῦ, ὅπερ ἦν ἐκ τῆς δόξης τοῦ Πλάτωνος, διὰ δὲ τοῦ κινεῖν ἑαυτὴν δηλοῦντες δύναμιν κινητικὴν ἐν τῇ ψυχῇ.

## Leçon V.

**Διαφέρονται δὲ περὶ τῶν ἀρχῶν.** Ἐν τοῖς προλαβοῦσιν ἔδειξεν ἐν ᾧ οἱ ἀρχαῖοι φιλόσοφοι συνεφώνουν ὅσον πρὸς τὴν περὶ ψυχῆς θεωρίαν, ἐν τῷ τὴν | ψυχὴν εἶναι δηλονότι ἀρχὴν κινήσεως καὶ γνώσεως· f. 275
ἐν δὲ τῷ μέρει τούτῳ δείκνυσι πῶς οἱ εἰρημένοι φιλόσοφοι διῃρέθησαν διαφόρως περὶ τοῦτο τὸ κοινόν. Καὶ διαιρεῖται τοῦτο τὸ μέρος εἰς τρία· πρῶτον γὰρ τίθησι τὴν ῥίζαν τῆς διαφορότητος τῶν φιλοσόφων ὅσον πρὸς τὴν περὶ ψυχῆς θεωρίαν· δεύτερον, ἐκείνην τὴν διαφορότητα ἀπαριθμεῖ εἰδικῶς ἐν τῷ· **Ὅθεν ἔδοξε τισί**· τρίτον, συνάγει καὶ ἃ περὶ τὰς τοιαύτας διαφορὰς θεωρεῖν δεῖ ἐν τῷ· **Ὁρίζονται δὲ πάντες.** Ἡ δὲ ῥίζα τῆς τῶν φιλοσόφων διαφορᾶς ἐν τῇ περὶ ψυχῆς θεωρίᾳ ἐστὶν ὅτι αὐτοὶ ἀπεδίδοσαν τὴν ψυχὴν ταῖς ἀρχαῖς, ὡς εἴρηται, καὶ ἤδη κατὰ τὴν διαφορὰν τῶν εἰρημένων φιλοσόφων περὶ τὴν θεωρίαν τῶν ἀρχῶν ἔστι καὶ ἡ διαφορὰ αὐτῶν ἐν τῇ περὶ ψυχῆς θεωρίᾳ· οἱ γὰρ εἰρημένοι φιλόσοφοι, εἰ καὶ τιθέασι τὴν ψυχὴν συντεθεῖσθαι ἐκ τῶν ἀρχῶν, ἀλλ' οὐ συμφωνοῦσιν ἐν τῷ τιθέναι τὴν ψυχὴν ἐκ τῶν αὐτῶν ἀρχῶν, ἀλλ' ὥσπερ διαφέρονται περὶ τῶν ἀρχῶν, οὕτω καὶ περὶ τὴν θεωρίαν τῆς ψυχῆς. Διαφέρονται δὲ περὶ τῶν ἀρχῶν ὅσον πρὸς δύο, δηλονότι ὅσον πρὸς τὴν οὐσίαν τῶν ἀρχῶν, δηλονότι τίνες εἰσὶν αἱ ἀρχαί, καὶ ὅσον πρὸς τὸν ἀριθμόν, δηλονότι πόσαι εἰσίν. Ὅσον δὲ πρὸς τὴν οὐσίαν, διότι τινὲς ἐτίθεσαν ἀρχὰς σωματικάς, οἷον οἱ τιθέντες τὸ πῦρ, ἢ τὸ ὕδωρ, ἢ τὸν ἀέρα· τινὲς δὲ ἄϋλα καὶ ἀσώματα, ὥσπερ οἱ τιθέντες τοὺς ἀριθμοὺς καὶ τὰς ἰδέας· τινὲς δὲ μιγνύοντες ἑκάτερα, ὥσπερ οἱ Πλατωνικοί, οἵτινες ἔθεντο ἀρχὰς καὶ αἰσθητὰς καὶ χωριστάς. Περὶ δὲ τὸν ἀριθμὸν ἢ τὸ πλῆθος διαφέρονται, ὅτι τινὲς ἔθεντο μίαν ἀρχήν, ὥσπερ Ἡράκλειτος, ὅστις ἔλεγε τὸν ἀέρα, καὶ ἄλλος τὸ πῦρ, τινὲς δὲ λέγουσι πλείους τὰς ἀρχάς, ὡς Ἐμπεδοκλῆς· ὅμως καὶ οἱ τιθέντες ἀΰλους αὐτάς, ὥσπερ οἱ

2 *ἐκ τῆς* corrigé de *διὰ* B   15 *προειρημένοι* B   30 *διὸ* B

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

Πλατωνικοί· πάντες δὲ κοινῶς νενομίκασι τὴν ψυχὴν εἶναι τὸ μάλιστα κινητικόν.

Ὅθεν ἔδοξεν. Ἐνταῦθα δεύτερον ἀπαριθμεῖ τὰς διαφορὰς τῶν φιλοσόφων εἰδικῶς. Ἰστέον δὲ ὅτι ἐν τοῖς τιθεῖσιν ἓν σῶμα εἶναι ἀρχὴν τῶν πραγμάτων, οὐδεὶς ἠξίωσε θεῖναι μόνην τὴν γῆν, ἀλλὰ ἄλλοι μὲν ἔθεντο τὸ πῦρ πρώτην ἀρχήν, ἄλλοι δὲ τὸν ἀέρα, καὶ ἄλλοι τὸ ὕδωρ· τὴν δὲ γῆν οὐδεὶς ἔθετο εἰ μὴ ὁ τιθεὶς πάντα τὰ στοιχεῖα εἶναι πρώτην ἀρχήν. Καὶ ὁ τούτου λόγος ἐστίν, ὅτι ἡ γῆ, διὰ τὸ ἑαυτῆς πάχος, μᾶλλον ἐδόκει εἶναι σύνθετος ἐκ τῶν ἀρχῶν ἢ αὐτὴ εἶναι ἀρχή· καὶ διὰ τοῦτο περὶ τοῦτο τὸ μέρος τρία ποιεῖ· πρῶτον μὲν γὰρ τίθησι τὰς δόξας τῶν θεμένων τὴν πρώτην ἀρχὴν καὶ τὴν ψυχὴν εἶναι πῦρ καὶ πυρὶ συνεζευγμένην· δεύτερον, τίθησιν ἐκείνων, οἵτινες ἔθεντο τὴν πρώτην ἀρχὴν καὶ τὴν ψυχὴν εἶναι ἀέρα, ἐν τῷ· Διογένης δέ· τρίτον, τῶν θεμένων τὴν πρώτην ἀρχὴν καὶ τὴν ψυχὴν εἶναι ὕδωρ, ἐν τῷ· Τῶν δὲ φορτικωτέρων.

Περὶ τὸ πρῶτον ἰστέον ἐστίν, ὅτι διὰ τὸ ἀποδίδοσθαι τῇ ψυχῇ τὸ κινητικόν τε καὶ γνωστικὸν ἔδοξε τισὶ τὸ μάλιστα κινητικόν τε καὶ γνωστικὸν εἶναι τὴν ψυχήν· καὶ διότι τὸ λεπτομερέστατον ἐδόκει αὐτοῖς εἶναι τὸ μάλιστα κινητικὸν καὶ γνωστικόν, διὰ τοῦτο εἰρήκεσαν τὴν ψυχὴν εἶναι πῦρ, ὅπερ ἐστὶν ἐν τοῖς σώμασι λεπτομερέστατόν τε καὶ δραστικώτατον· καὶ εἰ καὶ πλείους εἰσὶ ταύτης τῆς δόξης καὶ νενομίκασι τὴν ψυχὴν εἶναι πῦρ, ὁ Δημόκριτος μέντοι λεπτότερον καὶ λογικώτερον εἶπεν, ἀποφηνάμενος διὰ τί τούτων ἑκάτερον, ἤγουν τὸν λόγον τῆς κινήσεως καὶ τῆς γνώσεως ἀναπτύξας· ἠβούλετο γάρ, ὡς εἴρηται, πάντα συγκεῖσθαι ἐξ ἀτόμων, καὶ εἰ αὗται αἱ ἄτομοι, κατ' αὐτόν, ἦσαν ἀρχαὶ τῶν πραγμάτων ἁπάντων, ὅμως ἠβούλετο τὰς ἀτόμους τὰς σφαιροειδεῖς τῆς πυρώδους εἶναι φύσεως, καὶ διὰ τοῦτο ἔλεγε τὴν ψυχὴν συντεθεῖσθαι ἐκ τῶν σφαιροειδῶν, καὶ τοῦτο καθόσον μέν εἰσι πρῶται ἀρχαί, ἔλεγεν ἔχειν τὸν τῆς γνώσεως λόγον· καθόσον δὲ σφαιροειδεῖς, τὸν λόγον τῆς κινήσεως· καὶ διὰ τοῦτο, καθόσον ἡ ψυχὴ συνετέθειτο ἐκ τῶν τοιούτων ἀδιαιρέτων σωμάτων καὶ σφαιροειδῶν, ἔλεγεν αὐτὴν γινώσκειν καὶ κινεῖν πάντα. Ὅθεν τιθεὶς αὐτὰ τὰ σώματα τὰ σφαιρικὰ ἐκ τῆς φύσεως τοῦ πυρός, συνεφώνει τοῖς λέγουσι τὴν ψυχὴν ἐκ τῆς τοῦ πυρὸς εἶναι φύσεως.

Ἀναξαγόρας δὲ ἔοικεν. Ἐνταῦθα ἑπομένως τίθησι τὴν Ἀναξαγόρου δόξαν, ὃς ἐν τούτῳ συνεφώνει τοῖς προηγουμένοις, ὅτι ταύτῃ, δηλονότι τῇ ψυχῇ, τὸν λόγον ἀπέδωκε τοῦ γινώσκειν τε καὶ κινεῖν· οὗτος δὲ ποτὲ μὲν δοκεῖ λέγειν ἄλλο τὴν ψυχὴν εἶναι καὶ τὸν νοῦν, ποτὲ δὲ χρῆται ἀμφοῖν, δηλονότι τῇ ψυχῇ καὶ τῷ νῷ ὡς μιᾷ φύσει. Αὐτὸς γὰρ εἶπε τὴν ψυχὴν εἶναι κινητικὴν καὶ γνωστικήν· ὅθεν τιθεὶς τὸν νοῦν

---

1 *καὶ* avant *πάντες* add B *δὲ* om B 20 *τὴν* om B

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

κινοῦντα τὴν ψυχὴν εἶναι καὶ γνωστικόν, ὡς ταὐτὸν λαμβάνει τὴν ψυχὴν καὶ τὸν νοῦν. Ἀλλ' ἐν τούτῳ διέφερε τῶν | ἄλλων, ὅτι ὁ Δημόκριτος f. 275v ἐτίθει τὸν νοῦν εἶναι σωματικῆς φύσεως, ἅτε ἐκ τῶν ὑλικῶν ἀρχῶν συγκείμενον· ὁ δὲ Ἀναξαγόρας λέγει τὸν νοῦν εἶναι ἁπλοῦν, ἵνα ἀφέληται αὐτοῦ τὴν ἐν τῇ οὐσίᾳ διαφοράν τε καὶ ποικιλότητα· ἄμικτον, ἵνα ἀποκλείσῃ τὴν μετὰ ἄλλου σύνθεσιν· καὶ καθαρόν, ἵνα ἀποκλείσῃ τὴν ἀπ' ἄλλου προσθήκην. Ἀλλὰ τὸ κινεῖν καὶ γινώσκειν ἀποδίδωσι τῇ ἀρχῇ, δηλονότι τῷ νῷ· ὁ γὰρ νοῦς ἐκ τῆς αὐτοῦ φύσεως ἔχει τὸ εἶναι γινώσκων· τὴν δὲ κίνησιν ἔχει, ὅτι αὐτός, ὡς εἴρηται, λέγει πάντα κινεῖν.

Ἔοικε δὲ καὶ Θαλῆς. Ἐνταῦθα τὴν τοῦ Θαλοῦ τίθησι δόξαν, ὃς ἐν τούτῳ μόνον συνεφώνει τοῖς ἀνωτέροις, ὅτι εἶπε ψυχὴν εἶναι τὸ ἔχον δύναμιν κινητικήν. Οὗτος γάρ, δηλονότι ὁ Θαλῆς, τῶν ἑπτὰ σοφῶν γεγονώς, τῶν ἄλλων ἁπάντων περὶ τὰ ἠθικὰ σπουδασάντων οὗτος μόνος δέδωκεν ἑαυτὸν τῇ ζητήσει τῶν φυσικῶν πραγμάτων, καὶ ἔστι πρῶτος φυσικὸς φιλόσοφος, καὶ διὰ τοῦτο φησὶν ὅτι· Ἐξ ὧν ἀπομνημονεύουσιν. Οὗτος τοίνυν ἠθέλησε τὸ ὕδωρ εἶναι πάντων ἀρχὴν τῶν πραγμάτων· κατὰ τὴν θεωρίαν γὰρ τῆς ἀρχῆς ἐν τοῖς ἐμψύχοις πράγμασιν, ἐδόξασεν ἀρχὴν εἶναι πάντων τὸ σπέρμα· ὅθεν, ἐπεὶ αἱ ἀρχαὶ εἴτουν τὰ σπέρματα τῶν ἐμψύχων ἁπάντων εἰσὶν ὑγρά, ἠθέλησε τοῦτο εἶναι ἀρχὴν πάντων τῶν πραγμάτων, ὅπερ ἐστὶ μάλιστα ὑγρόν· καὶ διότι τοιοῦτον ἐστὶ τὸ ὕδωρ, εἶπε τὸ ὕδωρ εἶναι ἀρχὴν πάντων τῶν πραγμάτων. Ἀλλ' ὅμως οὐκ ἀκολουθεῖ οὗτος τῇ δόξῃ αὐτοῦ τῇ περὶ τῆς ἀρχῆς, ὥστε λέγειν καὶ τὴν ψυχὴν εἶναι ὕδωρ, ἀλλὰ τοῦτο λέγει εἶναι ψυχὴν τὸ ἔχον δύναμιν κινητικήν· ὅθεν ἐπεὶ ὁ μαγνήτης κινεῖ τὸν σίδηρον, εἶπε ψυχὴν ἔχειν αὐτόν. Τίθενται τοίνυν καὶ Ἀναξαγόρας καὶ Θαλῆς μετ' ἐκείνων, οὐχ ὅτι λέγουσι τὴν ψυχὴν εἶναι πῦρ καὶ ὕδωρ, ἀλλὰ διότι τοῦτο λέγουσιν εἶναι ψυχήν, τὸ ἔχον τὸν λόγον τῆς κινησεώς τε καὶ γνώσεως, ὡς εἶπεν Ἀναξαγόρας· ἢ τῆς κινήσεως μόνον, ὡς εἶπε Θαλῆς.

Διογένης δὲ ὥσπερ καί. Ἐνταῦθα ἑπομένως τίθησι τὰς δόξας τῶν λεγόντων τὸν ἀέρα εἶναι τὴν πρώτην ἀρχὴν καὶ τὴν ψυχὴν καὶ οὗτοι οἱ ταῦτα νομίσαντες εἰσὶ τρεῖς. Διὰ τοῦτο καὶ τὸ μέρος τοῦτο διαιρεῖται εἰς τρία· πρῶτον γὰρ τίθησι τὴν δόξαν τοῦ Διογένους· δεύτερον, τὴν Ἡρακλείτου· τρίτον, τὴν τοῦ Ἀλκμαίωνος.

Πρῶτον τοίνυν, ὡς εἴρηται, τίθησι τὴν τοῦ Διογένους, ὅστις ἠβούλετο τὸν ἀέρα εἶναι ἀρχὴν πάντων καὶ εἶναι λεπτότατον πάντων τῶν σωμάτων· ὅθεν καὶ τὴν ψυχὴν εἶπεν εἶναι ἀέρα καὶ ἐκ τούτου δοκεῖ τὴν δύναμιν

---

11 *μόνῳ* B 21 *πραγμάτων* corrigé de *ὄντων* B 21-23 *Ἀλλ' ὅμως — εἶναι ὕδωρ*, en marge AB 22 *οὗτος* om B 23 *εἶναι* (2°): *ἔχειν* B 24 *εἶπε*: *ἔχει* B 29 *τὴν δόξαν* B

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

τοῦ γινώσκειν καὶ κινεῖν ἔχειν. Τὴν μὲν δύναμιν τοῦ γινώσκειν ἔχει, διότι ὁ ἀήρ, κατ' αὐτόν, ἔστιν ἀρχὴ πάντων· ἐπεὶ γὰρ ἡ γνῶσις γίνεται δι' ὁμοίου, ὡς εἴρηται, ἐχρῆν τὴν ψυχήν, εἰ γινώσκει πάντα, σύνθετον αὐτὴν εἶναι ἐκ τῶν ἀρχῶν πάντων τῶν πραγμάτων. Τὴν δὲ δύναμιν τοῦ κινεῖν ἔχει, διότι ὁ ἀὴρ ἐστι λεπτότατον πάντων σωμάτων, καὶ διὰ τοῦτο μάλιστα κινητός· καὶ τοῦτο ἐστὶν ὅ φησι· Διογένης δέ, καὶ τὰ λοιπά.

Καὶ Ἡράκλειτος δέ. Ἐνταῦθα, δεύτερον, τίθησι τὴν Ἡρακλείτου δόξαν, ὅστις οὐκ ἔφασκε τὸν ἀέρα εἶναι ἀρχὴν τῶν πραγμάτων ἀλλά τι συνεζευγμένον τῷ ἀέρι, δηλονότι ἀναθυμίασιν, ἥτις ἐστὶ μέση ἀέρος καὶ ὕδατος. Οὗτος γὰρ οὐκ ἔθετο τὸ ὕδωρ ἢ τὸ πῦρ ἀρχὴν τῶν πραγμάτων, ἀλλά τι μέσον, διότι οὐκ ἔθετο εἰ μὴ τὰ ὑλικὰ μόνον· ὅθεν τοῦτο ἠθέλησεν εἶναι ἀρχὴν τῶν πραγμάτων, ὅπερ ἂν εἴη μᾶλλον ἐξῃρημένον τῆς ἐναντιότητος, καὶ τοῦτο ἐδόκει εἶναι ἡ ἀναθυμίασις· καὶ κατὰ τοῦτο ἠθέλησε τὴν ψυχὴν εἶναι ἀναθυμίασιν, διότι ἐκ τούτου ἔλεγε τὴν ψυχὴν μάλιστα γνωστικὴν καὶ κινητικὴν εἶναι. Αὐτὸς γὰρ ἦν τοιαύτης δόξης, ὅτι πάντα εἰσὶν ἐν συνεχεῖ ῥύσει, καὶ ὅτι οὐδὲν ἢ πρὸς ὥραν ἠρεμεῖ, καὶ οὐδὲ λόγος τις δύναται διωρισμένως λέγεσθαι· ὅθεν, ἐπεὶ ἡ ἀναθυμίασις ἐστὶν ἐν τοῖς ἄλλοις μάλιστα ῥευστή, εἶπεν αὐτὴν εἶναι ἀρχὴν πάντων τῶν πραγμάτων, καὶ ταύτην εἶπεν εἶναι τὴν ψυχήν. Καί φησιν ὅτι τὴν φύσιν τὴν γνωστικὴν ἔχει ἐκ τοῦ εἶναι ἀρχή, τὴν δὲ κινητικήν, ἐκ τοῦ εἶναι ἀσωματότατον καὶ ῥευστόν.

Παραπλησίως δὲ τούτοις. Ἐνταῦθα, τρίτον, τίθησιν τὴν δόξαν τοῦ Ἀλκμαίωνος ὅστις συνεφώνει τούτοις ὅσον πρὸς τὴν κίνησιν μόνον, ὅστις ἔλεγε τὴν ψυχὴν εἶναι κινητικώτατόν τι· ὅθεν διὰ τὸ ἀεὶ κινεῖσθαι ἀφωμοίωται τοῖς ἀθανάτοις, δηλονότι τοῖς οὐρανίοις σώμασι· καὶ διὰ τοῦτο φησὶν αὐτὴν ἀθάνατον ὡς τὰ οὐράνια σώματα, ἅπερ ἀεὶ κινοῦνται, ὥσπερ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ τὰ τοιαῦτα ἀθάνατά εἰσιν.

Τῶν δὲ φορτικωτέρων καὶ ὕδωρ. Ἐνταῦθα τίθησι τὰς δόξας f. 276 τῶν θεμένων | τὸ ὕδωρ πρώτην ἀρχὴν πάντων τῶν πραγμάτων. Γεγόνασι γάρ τινες μαθηταὶ καὶ ἀκόλουθοι Θαλοῦ, ὅστις δηλονότι ἠβουλήθη παραβάλλειν τὴν ἀρχὴν ἑνὸς πράγματος τῇ ἀρχῇ ὅλης τῆς γῆς, καὶ οὗτοι ἑώρων, ὅτι ἡ ἀρχὴ πάντων τῶν ζώντων ἐστὶ τὸ ὑγρόν· ὅθεν ἐδόξασαν, ὅτι τῷ αὐτῷ τρόπῳ ἀρχὴ πάντων τῶν πραγμάτων ἐστὶ τὸ ὑγρόν. Ἐπεὶ τοίνυν τὸ ὕδωρ ἐστὶ τὸ ὑγρότατον τῶν ἄλλων στοιχείων, εἶπον ἀρχὴν αὐτὸ εἶναι πάντων τῶν πραγμάτων, καὶ μέχρι τούτου ἠκολούθησαν τῷ Θαλῇ. Ἀλλ' ἐν τούτῳ διαφέρονται, ὅτι ὁ Θαλῆς, εἰ καὶ τὸ ὕδωρ ἐτίθει πάντων εἶναι ἀρχήν, οὐ μέντοι γε εἶπε τὴν ψυχὴν εἶναι ὕδωρ, ἀλλὰ δύναμιν κινοῦσαν,

---

15 *ἦν ἐν τοιαύτῃ δόξῃ* B 16 *ἠρεμεῖ*: Scholarios donne l'esprit rude au verbe *ἠρεμεῖν* et à tous les dérivés 25 *οὐρανίοις*: *ἀερίοις* B

Ε.Υ.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὡς εἴρηται· οὗτοι δὲ οἱ ἀπαίδευτοι εἶπον τὴν ψυχὴν εἶναι ὕδωρ, ὡς Ἵππων. Οὗτος γὰρ ἤλεγχε τινὰς λέγοντας ψυχὴν εἶναι τὸ αἷμα ἐκ τοῦ τὸ αἷμα μὴ εἶναι γονὴν εἴτουν σπέρμα τῶν ἐμψύχων πραγμάτων· ἣν ἔλεγον εἶναι πρώτην ψυχήν, καὶ τοῦτο ἀπεδίδοσαν τῷ αἵματι διὰ τὴν ὑγρότητα.

Ἕτεροι δὲ αἷμα. Ἐνταῦθα ἑπομένως τίθησι δόξαν τινὸς φιλοσόφου, ὅστις μᾶλλον θεωρῶν τὴν ψυχὴν ὅσον πρὸς τὴν γνῶσιν, ἔτι ἀμαθέστερον εἶπε περὶ αὐτῆς, λέγων αὐτὴν εἶναι αἷμα· οὗ δὴ λόγος ἐστίν, ὅτι ἐν τῷ ζῴῳ οὐκ ἔστιν αἴσθησις χωρὶς αἵματος, καὶ διὰ τοῦτο, ἐπειδὴ ἡ ψυχὴ ἐστὶν ἀρχὴ τοῦ γινώσκειν, εἶπεν αὐτὴν εἶναι αἷμα, οὗ χωρὶς οὐκ ἔστιν αἴσθησις ἐν τῷ ζῴῳ. Τὰ γὰρ ἔξαιμα ἤγουν ὀστᾶ, ὄνυχες καὶ ὀδόντες ἄνευ αἰσθήσεως εἰσίν, εἰ καὶ τὰ νεῦρα χωρὶς αἵματος ὄντα μάλιστα αἰσθητικὰ εἰσί, καὶ τοῦτο εἶπε [Κριτίας].

Πάντα γὰρ τὰ στοιχεῖα. Διότι δυνατὸν ζητηθῆναι πῶς ἐν τῇ θεωρίᾳ τῆς ψυχῆς οὐ ποιεῖται μνήμην περὶ τῆς γῆς, ὥσπερ περὶ τῶν ἄλλων στοιχείων, διὰ τοῦτο ἐνταῦθα ἐξαιτιᾶται ἑαυτὸν λέγων, ὅτι κατὰ τοῦτο ἐδόξασαν περὶ ψυχῆς ὡς περὶ τῶν ἀρχῶν· ὅθεν ἐπεὶ ἡ γῆ οὐδένα κριτὴν ἔλαβεν, τουτέστιν οὐδεὶς αὐτὴν ἔκρινεν εἶναι ἀρχήν, ἀκολούθως οὐδεὶς εἶπε τὴν ψυχὴν εἶναι γῆν, εἰ μὴ ἴσως τις εἴποι τὴν ψυχὴν συντεθεῖσθαι ἐκ πασῶν τῶν ἀρχῶν, ὥσπερ Ἐμπεδοκλῆς, ἢ πάσας τὰς ἀρχὰς εἶναι, ὥσπερ Δημόκριτος.

Ὁρίζονται δὲ πάντες τὴν ψυχήν. Ἐνταῦθα ἐπιλέγει καὶ συνάγει ἐκ πάντων, ὧν εἶπε, τὸν ἑαυτοῦ σκοπόν· καὶ πρῶτον, ὅσον πρὸς αὐτὰς τὰς ἀρχάς· δεύτερον, πρὸς τὰς ἐναντιότητας τὰς ἐν αὐταῖς ταῖς ἀρχαῖς, ἐν τῷ· Ὅσοι δὲ ἐναντιώσεις. Ὅσον δὲ πρὸς αὐτὰς τὰς ἀρχάς, διότι αὐτοὶ τρία ἀπεδίδοσαν τῇ ψυχῇ, δηλονότι τὸ εἶναι λεπτότατον τί, τὸ εἶναι τι γνωστικὸν καὶ τὸ εἶναι τι κινητικόν· καὶ ταῦτα τὰ τρία, δηλονότι τὴν αἴσθησιν, τὴν κίνησιν καὶ τὸ ἀσώματον, ἀνάγουσιν εἰς τὴν ἀρχήν. Τοῦτο γὰρ λέγουσιν εἶναι ἀρχήν, ὅπερ ἐστὶν ἁπλοῦν. Πάλιν ἡ ἀρχὴ παρ' ἑαυτῆς ἔχει τὸ εἶναι γνωστική, διότι, ὡς εἴρηται, τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεται· ὅθεν καὶ τὴν ψυχὴν εἶπον ἐκ τῶν στοιχείων ἢ στοιχεῖα εἶναι, διότι ἔλεγον, ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεται, πλὴν Ἀναξαγόρου, ὃς ἐτίθει τὸν ἄμικτον νοῦν. Πάλιν, διότι ἡ ἀρχὴ ἐστι λεπτότατον, ταύτην εἶναι ἔλεγον τὸ μάλιστα κινητικόν· καὶ διότι ἡ ψυχὴ γινώσκει πάντα, λέγουσιν αὐτὴν συγκεῖσθαι ἐκ πασῶν τῶν ἀρχῶν. Καὶ τοῦτο λέγουσι πάντες, διότι καθὸ τιθέασι τὰς ἀρχάς, οὕτω τιθέασι καὶ τὴν ψυχήν. Ὅθεν οἱ τιθέντες μίαν τινὰ αἰτίαν εἴτουν ἀρχὴν καὶ στοι-

---

12 [*Κριτίας*] sic S. Thomas et Aristote. Scholarios a omis ce nom sans doute par distraction 19-20 *ὥσπερ — ἀρχὰς εἶναι*: *ἢ πάντων εἶπεν εἶναι ἀρχὰς* B
26 *κινητικὸν*: *γνωστικὸν* B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χεῖον ἕν, οὗτοι λέγουσι τὴν ψυχὴν εἶναι τοῦτο τὸ ἕν, ὡς ἤδη εἴρηται, καὶ οἱ πλείω τιθέντες, οὗτοι λέγουσι καὶ τὴν ψυχὴν εἶναι πλείω.

Ἀναξαγόρας δὲ μόνος. Διότι εἶπεν, ὅτι πάντες συμφωνοῦσιν ἐν τούτῳ τῷ λέγειν τὴν ψυχὴν συγκεῖσθαι ἐκ τῶν ἀρχῶν διὰ τὸ δεῖν γινώσκεσθαι τῷ ὁμοίῳ τὸ ὅμοιον πλὴν ἑνός, δηλονότι τοῦ Ἀναξαγόρου, διὰ τοῦτο ἐνταῦθα δείκνυσι πῶς διαφέρει ἀπ' αὐτῶν, λέγων ὅτι Ἀναξαγόρας μόνος εἶπε τὸν νοῦν εἶναι ἀπαθῆ μηδὲ ἔχειν τι κοινὸν τινί, τουτέστιν οὐδενὶ τῶν ἃ γινώσκει ὅμοιον. Ἀλλὰ πῶς γινώσκει ὁ νοῦς, οὐδὲ Ἀναξαγόρας εἶπεν, οὐδ' ἔστι φανερὸν ἐκ τῶν εἰρημένων.

Ὅσοι δέ. Ἐνταῦθα, δεύτερον, συνάγει τὸν ἑαυτοῦ σκοπὸν ὅσον πρὸς τὰς ἐναντιότητας, αἵτινες ἐν αὐταῖς ταῖς ἀρχαῖς εἰσί, λέγων ὅτι τινὲς τιθέασι τὰς ἀρχὰς τῶν πραγμάτων ἐναντίας· καὶ οὗτοι συνιστῶσι τὴν ψυχὴν ἐκ τῶν ἐναντίων ἀρχῶν, ὥσπερ Ἐμπεδοκλῆς· διδοὺς γὰρ τοῖς στοιχείοις τὴν θερμότητα καὶ ψυχρότητα τὴν ὑγρότητα καὶ τὴν ξηρότητα, δίδωσι καὶ τῇ ψυχῇ ἐνυπάρχειν ταύτας τὰς ἐναντιότητας· εἶπε γάρ· Τῇ γῇ τὴν γῆν ὁρῶμεν, τῷ ὕδατι τὸ ὕδωρ, καὶ τὰ λοιπά. Οἵτινες δὲ ἔθεντο
f. 276v ἀρχὴν ἁπάντων ἓν τῶν στοιχείων, τὴν ἐκείνου ποιότητα | προσέθεσαν τῇ ψυχῇ. Ὁ γὰρ εἰπὼν ἀρχὴν πάντων εἶναι τὸ πῦρ ἔθετο τὴν θερμότητα· ὁ δὲ εἰπὼν πρώτην ἀρχὴν ἁπάντων τὸ ὕδωρ, τὴν ψυχρότητα ἐπέθηκε τῇ ψυχῇ. Ὅθεν, κατὰ τὴν ποιότητα τῶν ἀρχῶν ἃς τιθέασιν, λέγουσι καὶ τὴν ψυχὴν εἶναι. Καὶ τοῦτο δῆλον ἐκ τῶν ὀνομάτων, οἷς αὐτὴν ὀνομάζουσιν. Οἱ γὰρ λέγοντες τὴν ψυχὴν ἐκ τῆς φύσεως τοῦ θερμοῦ παρονομάζουσιν αὐτὴν ἀπὸ τοῦ ζῆν, ὃ παρωνόμασται πάλιν ἀπὸ τοῦ ζέειν, ὅπερ ἐστὶ τὸ θερμὸν εἶναι. Οἱ δὲ λέγοντες τὴν ψυχὴν ἐκ τῆς φύσεως τοῦ ψυχροῦ παρωνόμαζον αὐτὴν ἀπὸ ψυχροῦ ψυχὴν διὰ τὴν κατάψυξιν, ἥτις σῴζει τὸ ζῷον ἐκ τῆς ἀναπνοῆς. Ἐκ τούτων ἁπάντων συμπεραίνει λέγων, ὅτι ταῦτα εἰσὶ τὰ παραδεδομένα περὶ ψυχῆς, καὶ δι' ἃς ταῦτα αἰτίας ἐρρέθη περὶ αὐτῆς, ἤδη γέγονε φανερόν.

## Leçon VI.

Ἐπισκεπτέον δὲ πρῶτον μέν. Προέθετο μὲν ἐν τοῖς φθάσασιν ὁ Φιλόσοφος τὰς τῶν ἄλλων φιλοσόφων δόξας περὶ ψυχῆς· διαλέγεται δὲ ἐνταῦθα ἑπομένως κατ' αὐτῶν. Εἰσὶ δὲ τρία τὰ ὑπὸ τῶν εἰρημένων φιλοσόφων ἀποδεδομένα τῇ ψυχῇ, δηλονότι τὸ εἶναι ἀρχὴν κινήσεως, καὶ τὸ εἶναι ἀρχὴν γνώσεως, καὶ τὸ εἶναι ἀσωματώτατον εἴτουν λεπτότατον· ἐν οἷς δύο εἰσὶν ὡσανεὶ ἀρχοειδῆ, ἅτινα πρώτως καὶ καθαυτὸ ἀπεδίδοσαν τῇ ψυχῇ, δηλονότι τὸ εἶναι ἀρχὴν γνώσεως καὶ τὸ εἶναι ἀρχὴν κινή-

---

1 *τὸ* om B  22 *ἐκ*: *ἀπὸ* B  23 *ὅπερ*: *ὅ* B  25 *τοῦ* avant *ψυχροῦ* (2°) add B  34 *παραδεδομένα περὶ ψυχῆς* B

Ε.Υ.Δ. τ.τ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σεως. Τὸ δὲ τρίτον, τὸ εἶναι δηλονότι λεπτότατον, πρός τι μὲν καλῶς λέγεται, πρός τι δὲ κακῶς. Εἰ γὰρ τὸ λεπτότατον λαμβάνεται ἁπλῶς εἰρημένον περὶ ψυχῆς, οὕτω καλῶς λέγεται, διότι ἀναμφιβόλως ἡ ψυχὴ ἀσωματωτάτη ἐστὶ καὶ λεπτοτάτη. Εἰ δὲ μὴ λαμβάνεται ἁπλῶς ἀλλὰ μετὰ τοῦ σώματος, ἵνα λέγηται ὅλως λεπτότατον σῶμα, οὕτω κακῶς λέγεται· καὶ διὰ τοῦτο ὁ Φιλόσοφος οὐ χρῆται καθαυτὸ εἰ μὴ τοῖς δυσὶ μόνον, δηλονότι τῇ κινήσει καὶ τῇ γνώσει. Διαιρεῖται δὲ τὸ μέρος τοῦτο εἰς τρία. Πρῶτον μὲν γὰρ ζητεῖ περὶ τῆς ψυχῆς κατὰ τῶν δοξῶν τῶν φιλοσόφων, καθ' ἃς εἶπον αὐτὴν εἶναι ἀρχὴν κινήσεως· δεύτερον, καθ' ἃς εἶπον αὐτὴν εἶναι ἀρχὴν γνώσεως ἐν τῷ· Τριῶν δὲ τρόπων· τρίτον, κινεῖ ζήτημά τι, πότερον δηλονότι τὸ κινεῖν, τὸ αἰσθάνεσθαι, τὸ γινώσκειν ἀποδιδοῖτο ἂν τῇ ψυχῇ ὡς μιᾷ ἀρχῇ, ἢ ὡς διαφόροις, ἐν τῷ· Ἐπεὶ δὲ τὸ γινώσκειν τῆς ψυχῆς ἐστι. Περὶ δὲ τὸ πρῶτον δύο ποιεῖ· Πρῶτον μὲν διαλέγεται κατὰ τῶν περὶ ψυχῆς εἰρημένων, καθὸ ἐστιν ἀρχὴ κινήσεως· δεύτερον, κατά τινος δόξης, ἣν τινὲς τῇ εἰρημένῃ προσέθηκαν. Ἔνιοι γὰρ ἀπέδωκαν αὐτῇ τῇ ψυχῇ ἄλλο τι, δηλονότι τὸ εἶναι ἀριθμὸν κινοῦντα ἑαυτόν, ἐν τῷ· Πολὺ δὲ τῶν εἰρημένων. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· Πρῶτον διαλέγεται κοινῶς κατὰ τῶν εἰπόντων τὴν ψυχὴν ἀρχὴν κινήσεως· δεύτερον, κάτεισι πρός τινας ζητήσεις εἰδικῶς, ἐν τῷ· Ἔνιοι δὲ καὶ κινεῖν. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, φανεροῖ τὸν ἑαυτοῦ σκοπόν· δεύτερον, τίθησι λόγους πρὸς τὸ δεῖξαι τὸ προκείμενον, ἐν τῷ· Τεσσάρων δέ.

Λέγει τοίνυν πρῶτον, ὅτι ὡς ἐκ τῶν ἀνωτέρω λαβεῖν ἔστιν, οἱ φιλόσοφοι ἐκ δύο τινῶν ἦλθον εἰς τὴν τῆς ψυχῆς γνῶσιν, ἐκ κινήσεως δηλονότι καὶ αἰσθήσεως, ὧν περὶ θατέρου πρῶτον θεωρητέον, τῆς κινήσεως. Πάντες δὲ οἱ φιλόσοφοι, οἱ πρὸς τὴν γνῶσιν ἀφικόμενοι τῆς ψυχῆς ἐκ κινήσεως, ταύτην ἀρχὴν ἔλαβον κοινήν, δηλονότι τὴν ὅτι πᾶν τὸ κινοῦν κινεῖται· ὅθεν, διὰ τὸ φυσικῶς εἶναι τῆς ψυχῆς τὸ κινεῖν, ἐπίστευον συμπεφυκέναι ταύτῃ καὶ τὸ κινεῖσθαι καὶ τοῦτ' ἔχειν τὴν ψυχὴν ἐκ τῆς ἰδίας οὐσίας· ὅθεν ἐτίθουν ἐν τῷ ταύτης ὁρισμῷ τὴν κίνησιν, λέγοντες τὴν ψυχὴν εἶναί τι κινοῦν ἑαυτό. Ἐνταῦθα τοίνυν κατὰ δυοῖν χρὴ διαλεχθῆναι, κατά τε τοῦ λόγου τῆς θέσεως καὶ κατ' αὐτῆς τῆς θέσεως· ἑκάτερον γὰρ αὐτῶν ψεῦδος ἐστίν, ὅ τε λόγος δηλονότι τῆς θέσεως καὶ ἡ θέσις αὐτή. Τοῦτο γὰρ ὅπερ ὑπετίθετο ὡς καθαυτὸ ἀληθές, δηλονότι ὅτι τὸ πᾶν τὸ κινοῦν κινεῖται, ψεῦδος ἐστίν, ὡς ἱκανῶς ἀποδείκνυται ἐν τῷ ἕκτῳ τῶν φυσικῶν,

8 *τῆς* om B 13 *Περὶ — ποιεῖ* om B 14 *μὲν* om B 15 *ἐν τῷ ἔνιοι δὲ κινεῖν* après *προσέθηκαν* add B 16 *αὐτῇ* om B 17-18 *Περὶ — ποιεῖ* om B 18 *καὶ* avant *πρῶτον* add B 19-20 *ἐν τῷ — κινεῖν* om B 20 *Περὶ — ποιεῖ* om B *καὶ* avant *πρῶτον* add B 26 *τῆς* avant *κινήσεως* add B 27 *τὴν ὅτι*: *τὸ* B 34 *ὅτι* om B



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006